τριάρχης, φιλανθρωπότερον δοκοῦντος ἔχειν τοῦ βασιλέως, αὐτὸς πυρὶ παραδοθῆναι τὸν γόητα διισχυρίζετο, παρυφαίνων τῷ λόγῳ καὶ τὴν ἀποστολικὴν ῥῆσιν. καὶ ὅτι Παυλῖνός τε καὶ ὁ παῖς, κοινωνὸς ὢν τῆς ἀσεβείας, τὴν ἐπὶ θανάτῳ ἀπήχθησαν, ξίφει τὸν βίον καταστρεψάμενοι. ἔτι τε περὶ τοῦ Ἀφούμων καὶ Ἀκβὰς τῶν φρουρίων. ἐμπεριέχεται δὲ τῷ λόγῳ μάχη Ῥωμαίων καὶ Περσῶν, καὶ ὅπως ὁ Ἰωάννης καταστρατηγεῖται ὑπὸ τῶν βαρβάρων. ἔτι δὲ καὶ ὁ μέγας σεισμὸς ὁ γενόμενος κατὰ τὴν ἀρχὴν τῆς ἀναγορεύσεως Μαυρικίου, καὶ περὶ τῆς ὑπατείας αὐτοῦ. ὅπως τε Φιλιππικός, ὁ ἐπ' ἀδελφῇ τοῦ βασιλέως Γορδίᾳ γαμβρός, τῆς ἑῴας δυνάμεως προχειρίζεται στρατηγός, καὶ ἀνδραγαθίαι αὐτοῦ, ἀναχώρησίς τε ἐκ τῆς Μηδικῆς τῶν Ῥωμαίων. καὶ ὅπως ἀνυδρίᾳ τὸ Ῥωμαϊκὸν ἐκινδύνευσεν, ὅπως τε τὴν Ἀρζανηνὴν χώραν ὁ Ῥωμαίων στρατηγὸς προνομῇ παρέδωκεν, ἀριστεῖαί τε τῆς Ῥωμαίων δυνάμεως, καὶ ὅπως τὰ κατὰ τὴν Μαρτυρόπολιν ὁ Περσῶν στρατηγὸς κατεπόρθησεν. πρεσβεία τε Περσῶν πρὸς Ῥωμαίους πρώτη καὶ δευτέρα. ταῦτα μὲν ἐν τῷ πρώτῳ λόγῳ.

Ἐν δὲ τῷ δευτέρῳ διαλαμβάνει περὶ τοῦ ὄρους τοῦ Ἰζαλᾶ περί τε τῆς κατὰ τὸν Καρδαριγὰν τὸν τῶν Περσῶν στρατηγὸν ἀλαζονείας. ὅπως τε Φιλιππικοῦ τε ⟨καὶ⟩ Ῥωμαίων πρὸς τὸν Καρδαριγὰν καὶ Πέρσας μάχη περὶ τὸ Ἀρζάμων συνέστη, καὶ ὅπως ὁ Φιλιππικὸς τὴν ἀχειροποίητον εἰκόνα φέρων περιήει καθαγιάζων τὸ στράτευμα, καὶ ὡς νίκη ἐπιφανεστάτη τότε Ῥωμαίων ἐγένετο, ὅπως τε ἡ ἀχειροποίητος πρὸς Συμεώνην τὸν ἐπίσκοπον Ἀμίδης μετὰ σεβασμιότητος ἀποστέλλεται. σκυλεύεται δὲ ὑπὸ Ῥωμαίων τὸ βάρβαρον, καὶ φεύγει ὁ Καρδαριγὰν ἐπὶ τὸ Δαράς, καὶ ὅπως οἱ Δαρηνοὶ